δῆμόν τε φθείρωσι δίκας τ' ἀδίκοισι διδῶσιν
  οἰκείων κερδέων εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμίεσθαι,
  μηδ' εἰ νῦν κεῖται πολλῆι ἐν ἡσυχίηι,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
  κέρδεα δημοσίωι σὺν κακῶι ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν
  μούναρχοί τε· πόλει μήποτε τῆιδε ἅδοι. ⊗

(Theognidis)

⊗ Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
  οἳ πρόσθ' οὔτε δίκας ἤιδεσαν οὔτε νόμους,
ἀλλ' ἀμφὶ πλευραῖσι δορὰς αἰγῶν κατέτριβον,
  ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.
καὶ νῦν εἰσ' ἀγαθοὶ Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοὶ > 1109
  νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν; . . . 1110
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες, 1113
  οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν. ×1114
μηδένα τῶνδε φίλον ποιεῦ Πολυπαΐδη ἀστῶν
  ἐκ θυμοῦ χρείης οὕνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
  χρῆμα δὲ συμμείξηις μηδενὶ μηδ' ὁτιοῦν
σπουδαῖον· γνώσηι γὰρ ὀιζυρῶν φρένας ἀνδρῶν,
  ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία,
ἀλλὰ δόλους ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν
  οὕτως ὡς ἄνδρες μηκέτι σωιζόμενοι.

(Theognidis)

μήποτε Κύρνε κακῶι πίσυνος βούλευε σὺν ἀνδρί,